## VI

ἐρρέτω ἦμαρ ἐκεῖνο καὶ οὐλομένη σκοτόμαινα
βρόμος τε δεινὸς ἠνεμωμένης ἁλός,
οἵ ποτε νῆ' ἐκύλισαν ἐφ' ἧς ὁ τὰ πολλὰ μελίφρων
Ἀβδηρίων ἄπρηκτα θεοῖσιν εὔχετο·
ῥαίσθη γὰρ διὰ πάντα, προσηνέχθη δὲ κλύδωνι
τρηχεῖαν εἰς Σέριφον, αἰδοίων ὅθι
προξείνων ὑπὸ χερσὶ λαχὼν πυρὸς ἵκετο πάτρην
Ἄβδηρα κρωσσῷ χαλκέῳ περισταλείς.

## VII

ἐξ ἁλὸς ἡμίβρωτον ἀνηνέγκαντο σαγηνεῖς
ἄνδρα, πολύκλαυτον ναυτιλίης σκύβαλον·
κέρδεα δ' οὐκ ἐδίωξαν ἃ μὴ θέμις, ἀλλὰ σὺν αὐτοῖς
ἰχθύσι τῇδ' ὀλίγῃ θῆκαν ὑπὸ ψαμάθῳ.
ὦ χθών, τὸν ναυηγὸν ἔχεις ὅλον· ἀντὶ δὲ λοιπῆς
σαρκὸς τοὺς σαρκῶν γευσαμένους ἐπέχεις.

## VIII

ὀξεῖαι πάντῃ περὶ τὸν τάφον εἰσὶν ἄκανθαι
καὶ σκόλοπες· βλάψεις τοὺς πόδας ἢν προσίῃς.
Τίμων μισάνθρωπος ἐνοικέω· ἀλλὰ πάρελθε
οἰμώζειν εἴπας πολλά· πάρελθε μόνον.